ἡμετέρων· ἀλλ' αὐτοῖς μὲν ἔξωθεν ἱστορικοῖς τε τῆς πίστεως ἀλλοτρίοις εἰκὸς τέ-
θειται μὲν τὸ παράδοξον· οὐ μὴν δὲ τῆς τῶν ἡμετέρων εὐχῆς· τοῦτο ὁμολογηθη-
γενομένου· τοῖς δὲ τῆς ἡμετέρας ἀπ' ἀληθείας φίλοις, ἁπλῷ καὶ ἀκακοήθει
τρόπῳ τὸ πραχθὲν παραδέδοται. τοῦ γὰρ ἡμῶν καὶ Ἀπολιναρίου ἐξ ἐκεί-
νου φήσαντος τῇ δι' εὐχῆς τὸ παράδοξον πεποιηκυῖαν λεγεῶνα, οἰκείαν
τῷ γεγονότι πρὸς τοῦ βασιλέως εἰληφέναι προσηγορίαν· κεραυνο-
βόλον τῇ Ῥωμαίων ἐπικληθεῖσαν φωνῇ· μάρτυς δὲ τοῦ γένους ἀξι-
όχρεως ὅπερ Τερτυλλιανός· τῇ Ῥωμαίων συγκλήτῳ προσφωνήσας ὑπὲρ
τῆς πίστεως ἀπολογίαν, ἧς καὶ πρόσθεν ἐμνημονεύσαμεν. τήν τε ἱστορίαν ἐνα-
σων ἀποδείξει μείζονι καὶ ἐναργεστέρᾳ· γράφει δ' οὖν καὶ αὐτὸς λέγων·
Μάρκου τοῦ συνετωτάτου βασιλέως ἐπιστολὰς εἰς ἔτι νῦν φέρεσθαι· ἐν αἷς
αὐτὸς μαρτυρεῖ ἐν Γερμανίᾳ ὕδατος ἀπορίᾳ μέλλοντα τὸν αὐτοῦ στρατὸν
διαφθείρεσθαι, ταῖς τῶν χριστιανῶν εὐχαῖς σεσῶσθαι· τοῦτον δέ φησι καὶ θά-
νατον ἀπειλῆσαι τοῖς κατηγορεῖν ἡμῶν ἐπιχειροῦσιν· οἷς ὁ δηλωθεὶς ἀνὴρ
καὶ ταῦτα προσεπιλέγει· ποταποὶ οὖν οἱ νόμοι οὗτοι, οἱ καθ' ἡμῶν
μόνον ἐκπορευόμενοι. ἀσεβεῖς ἄδικοι ὠμοί· οὓς οὔτε Οὐεσπεσιανὸς ἐφύλα-
ξε· καίτοι Ἰουδαίους νικήσας· οὓς Τραϊανὸς ἐκ μέρους ἐξουδένωσε κωλύσας
ἐπιζητεῖσθαι χριστιανούς· οὓς οὔτε Ἀδριανὸς καίτοι πάντα τὰ περίεργα
πολυπραγμονῶν, οὔτε ὁ Εὐσεβὴς ἐπικληθεὶς ἐπεκύρωσε· ἀλλὰ ταῦτα μὲν
ὅπῃ τις ἐθέλοι τιθέσθω· μετίωμεν δ' ἡμεῖς ἐπὶ τὴν τῶν ἑξῆς ἀκολουθί-
αν· Ποθεινοῦ δὴ σὺν τοῖς ἄλλοις τὴν ζωὴν ἔτεσιν ἐνενήκοντα σὺν τοῖς ἐπὶ Γαλλί-
ας μαρτυρήσασι τελειωθέντος, Εἰρηναῖος τὴν κατὰ Λούγδουνον ἧς ὁ Πο-
θεινὸς ἡγεῖτο παροικίας τὴν ἐπισκοπὴν διαδέχεται. Πολύκαρπον δὲ τὸν — ὅπως Εἰρηναῖος
ἀκουστὴν γενέσθαι κατὰ τὴν πρώτην ἐμὴν φαμὲν ἡλικίαν· οὗτος — Πολυκάρπου
τῶν ἐπὶ Ῥώμης τὴν διαδοχὴν ἐπισκόπων ἐν τρίτῃ συντάξει τῶν πρὸς — μαθητής
τὰς αἱρέσεις παραθέμενος, εἰς Ἐλεύθερον, οὗ τοὺς χρόνους νῦν
ἐξετάζομεν, ὥσπερ δὴ κατ' αὐτὸν τοῦ διαζομένου αὐτῷ τῆς γραφῆς, τὸν — τὰς τῶν ἐπισκόπων
κατάλογον ἵστησι γράφων ὧδε· Θεμελιώσαντες οὖν καὶ οἰκοδομή- — καταλόγους
σαντες οἱ μακάριοι ἀπόστολοι τὴν ἐκκλησίαν, Λίνῳ τὴν ἐπισκοπῆς λειτουρ-
γίαν ἐνεχείρισαν· τούτου τοῦ Λίνου Παῦλος ἐν ταῖς πρὸς Τιμόθεον ἐπιστολαῖς
μέμνηται. διαδέχεται δ' αὐτὸν Ἀνέγκλητος· μετὰ τοῦτον δὲ τρίτῳ τόπῳ
ἀπὸ τῶν ἀποστόλων, τὴν ἐπισκοπὴν κληροῦται Κλήμης· ὁ καὶ ἑωρακὼς τοὺς
μακαρίους ἀποστόλους· καὶ συμβεβληκὼς αὐτοῖς· καὶ ἔτι ἔναυλον
τὸ κήρυγμα τῶν ἀποστόλων καὶ τὴν παράδοσιν πρὸ ὀφθαλμῶν ἔχων

http://digital.slub-dresden.de/ppn334880238/47